UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

# Demosthenis Et Aeschinis, Principum Græciæ Oratorum Opera

## Demosthenes

## Aureliae Allobrogum, 1607

Olynthiaca III

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1565

Visual Library

prodeunt,dicendi poteſtatem detis, & ex auditis optima amplectamini, non ea quæ hic vel ille dixerit. Quæ ſi feceritis,non oratorem duntaxat in præſentia laudabitis: ſed voſmetipſos etiam pòſt, ſtatu rerum veſtrarum multò florentiore. A

## ARGVMENTVM ORATIOnis Olynthiacæ tertiæ.

Athenienſes Olynthiis auxilia miſerant, quibus aliquid profeciſſe videbantur. Quod cùm eis nunciaretur,& populus gaudio exultabat, & oratores ad Philippum vlciſcendum hortabantur. Demoſthenes autem veritus ne fiducia pleni,vt qui viciſſent omnia, & auxilia ſatis magna miſiſſent Olynthiis,reliqua negligerent:ea de cauſa progreſſus,eorum arrogantiam retũdit,& ad modeſtam cautionem animos traducit:quòd non de Philippi vltione nunc eis deliberandum ſit ſed de ſalute ſociorum. Sciebat enim, & Athenienſes,& alios fortaſſe nonnullos,cùm ſuas res retinendi curam ſuſcipiant, de vlciſcendis aduerſariis minus laborare. In hac oratione illud etiam conſilium de theatrali pecunia attingit apertius, & leges poſtulat abrogari, quę mulctam imponant iis,qui decernerent,vt ea fieret militaris,quò ſuadere optima liceat Monet eos denique,vt ad maiorum ęmulationem excitentur,& ipſi ciues militent grauitérque obiurgat & populum, eo tempore remolleſcentem atque effœminatum:& magiſtratus,vt qui non rectè pręſint reipublicę. B

## DEMOSTHENIS OLYNTHICA TERTIA, HIEronymo Vvolſio interprete.

*Attentio à reprehenſione & periculo, cum propoſitione.*

NON idem ſtatuere poſſum, Athenienſes,cum & in res intueor,& in orationes,quas audio. Nam orationes quidem de vlciſcendo Philippo haberi, res autem eò progredi video,vt,ne ipſi prius infortunium feramus, ſit prouidendum. Nihil igitur aliud niſi errare mihi videntur ij, qui iſta dicunt, cum argumentum tractent prorſus ab hac veſtra deliberatione alienum. Ego verò aliquando licuiſſe ciuitati & ſua tenere tutò,& Philippum vlciſci, præclarè memini. Mea enim ætate,non olim,contigerũt hæc vtraque. Nũc autem ſic ſtatuo,ſatis eſſe nobis,ſi hoc primùm anteuerterimus,vt ſocios conſeruemus. C Quorum ſalus cùm in tuto collocata fuerit,tum & qua ratione illum vlciſci poſſitis,diſpicere licebit.

*Veniam petit, vt liberæ, ſic vtili orationi.*

Antequam autem principium rectè conſtituatur,ſuperuacaneum eſſe duco,de fine vllum facere verbum. Ac tempora quidem hæc,Athenienſes, ſi vnquam , nunc in primis magnam ſolicitudinem , & prudentiam requirunt.Ego verò,non quid in hiſce rebus ſuadendum ſit,difficilimum eſſe duco: ſed illud dubito, quo ſit pacto, Athenienſes, apud , vos de eis dicendum. Perſuaſum enim habeo, quantum coràm audiui & intellexi, in pleriſque vos fruſtrari negociis, propter officij veſtri neglectum,non ex inſcitia. Quare peto à vobis,vt me,ſi paulò liberius verba fecero.feratis:& id ſpectetis,an vera dicam, eáq; de cauſa, vt reliqua fiant meliora. Videtis enim ex eo,quòd quidam ad gratiam conciones habent , res noſtras in omnẽ progreſſas eſſe calamitatem.

*Commonefacit Athenienſes ceſſationis, quæ nocuit.*

Neceſſariũ autẽ exiſtimo,pauca vobis ex iis quæ facta sũt,in memoriam reuocare. Meminiſtis Athenienſes,nunciatum fuiſſe vobis ,Philippũ in Thracia , tertio aut quarto ab hinc anno,Heræum caſtrum obſidere. Tunc

A παριοῦσι λόγον διδόναι· καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε, αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, πολλῷ βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

## ΥΠΟΘΕΣΙΣ ΛΟΓΟΥ ΟΛΥΝθιακοῦ τρίτου.

Ἔπεμψαν βοήθειαν τοῖς ὀλυνθίοις οἱ ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι᾽ αὐτῆς. καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρὴς, οἵ τε ῥήτορες παρακαλοῦντες ἐπὶ τιμωρίαν τοῦ φιλίππου * ὁ δὲ δημοσθένης δεδοικὼς, μὴ θαρσήσαντες, ὡς τὰ πάντα νενικηκότες, καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι, διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν, καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι· λέγων, οὐ περὶ τῆς φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας. οἶδε γὰρ, ὅτι καὶ ἀθηναῖοι, καὶ ἄλλοί που τινὲς, τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι, ποιοῦνται φροντίδα. περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους, ἧττον σπουδάζουσιν. ἐν τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους, τοὺς ἐπιτιθέντας ζημίαν τοῖς B γράψασιν αὐτὰ γενέσθαι στρατιωτικὰ, ἵνα* δειχθῇ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι, καὶ στρατεύεσθαι σώμασιν οἰκείοις καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου, τέως ἐκλελυμένου, καὶ τῶν δημαγωγῶν, ὡς οὐκ ὀρθῶς προϊσταμένων τῆς πόλεως.

## ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΛΥΝΘΙΑΚΟΣ γ΄.

ΟΥΧΙ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω, καὶ ὅταν εἰς τοὺς λόγους, οὓς ἀκούω. τοὺς μὲν γὰρ λόγους περὶ τοῦ τιμωρήσασθαι φίλιππον ὁρῶ γιγνομένους· τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον κακῶς, σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες, ἢ τὴν ὑπόθεσιν περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παριστάντες ὑμῖν, ἁμαρτάνειν. ἐγὼ δὲ ὅτι μέν ποτε ἐξῆν τῇ πόλει καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς, καὶ C φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ᾽ ἐμοῦ γὰρ, οὐχὶ πάλαι, γέγονε ταῦτα ἀμφότερα. νῦν μέντοι πέπεισμαι τοῦθ᾽ ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅπως τοὺς συμμάχους σώσομεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τρόπον τιμωρήσεταί τις ἐκεῖνον, ἐξέσται σκοπεῖν. πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον. ὁ μὲν οὖν παρὼν καιρὸς, ὦ ἄνδρες ἀθηναῖοι, εἴπερ ποτὲ καὶ νῦν, πολλῆς φροντίδος καὶ βουλῆς δεῖται. ἐγὼ δὲ οὐχ ὅ,τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι, χαλεπώτατον ἡγοῦμαι. ἀλλ᾽ ἐκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ, ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας, εἰ τἀληθῆ λέγω, καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται. ὁρᾶτε γὰρ, ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους, εἰς πᾶν προελήλυθε μοχθηρίας, τὰ παρόντα πράγματα. ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθε, ὦ ἄνδρες ἀθηναῖοι, ὅτ᾽ ἀπηγγέλθη φίλιππος ὑμῖν ἐν θρᾴκῃ, τρίτον ἢ τέταρτον ἔτος τουτὶ, ἡραῖον τεῖχος πολιορκῶν. τότε

τοίνυν

τοίνυν μὲν ἦν μαιμακτηριών. πολλῶν δὲ λόγων καὶ θορύβου γιγνομένου παρ᾽ ὑμῖν, ἐψηφίσασθε τετταράκοντα τριήρεις καθέλκειν, καὶ τοὺς μέχρι πέντε καὶ τετταράκοντα ἐτῶν, αὐτοὺς ἐμβαίνειν, καὶ τάλαντα ἑξήκοντα εἰσφέρειν. καὶ μετὰ ταῦτα διελθόντος τοῦ ἐνιαυτοῦ τούτου, ἑκατομβαιών, μεταγειτνιών, βοηδρομιών. τούτου τοῦ μηνὸς μόλις μετὰ τὰ μυστήρια δέκα ναῦς ἀπεστείλατε ἔχοντα χαρίδημον κενάς, καὶ πέντε τάλαντα ἀργυρίου. ὡς γὰρ ἠγγέλθη φίλιππος ἀσθενῶν, καὶ τεθνεώς (ἦλθε γὰρ ἀμφότερα) οὐκέτι καιρὸν οὐδένα τοῦ βοηθεῖν νομίσαντες ἀφήκατε, ὦ ἄνδρες ἀθηναῖοι τὸν ἀπόστολον. ἦν δὲ οὗτος ὁ καιρὸς αὐτός. εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφισάμεθα προθύμως. οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ φίλιππος τότε σωθείς. τὰ μὲν δὴ τότε πραχθέντα, οὐκ ἂν ἄλλως ἔχοι. νῦν δ᾽ ἑτέρου πολέμου καιρὸς ἥκει. τίς; οὗτος, δι᾽ ὃν καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμεθα, ὦ ἄνδρες ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε παντὶ σθένει κατὰ τὸ δυνατόν, θεάσασθε ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ φιλίππου. ὑπῆρχον ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέκειθ᾽ οὕτω τὰ πράγματα, οὔτε φίλιππος ἐθάρρει τού- B τους, οὔθ᾽ οὗτοι φίλιππον. ἐπράξαμεν ἡμεῖς, κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην. ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ φιλίππῳ, καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς. ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου καὶ ὃ πάντες ἐθρύλλουν τέως, τοῦτο πέπρακται νῦν ὁπωσδήποτε. τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες ἀθηναῖοι, πλὴν βοηθεῖν ἐρρωμένως καὶ προθύμως, ἐγὼ μὲν οὐχ ὁρῶ. χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθυφείμεθά τι τῶν πραγμάτων· οὐδὲ τὸν φόβον, ὦ ἄνδρες ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα ἐχόντων μὲν ὡς ἔχουσι θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ χρήμασι φωκέων, μηδενὸς δ᾽ ἐμποδὼν ὄντος φιλίππῳ τὰ παρόντα καταστρεψαμένῳ, πρὸς ταῦτα ἐπικλῖναι τὰ πράγματα. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλλεται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ δεινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα καὶ βοηθοὺς αὑτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν. ὅτι μὲν γὰρ εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα, σχεδὸν ἴσμεν C ἅπαντες δήπου. ἀλλ᾽ ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες ἐγνώκαμεν, καὶ βοηθήσομεν. τὸ δὲ ὅπως, τοῦτο λέγε. μὴ τοίνυν, ὦ ἄνδρες ἀθηναῖοι, θαυμάσητε, ἂν παράδοξον εἴπω τι τοῖς πολλοῖς· νομοθέτας καθίσατε. ἐν δὲ τούτοις τοῖς νομοθέταις μὴ θῆσθε νόμον μηδένα (εἰσὶ γὰρ ὑμῖν ἱκανοί) ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάπτοντας ὑμᾶς, λύσατε. λέγω δὲ τοὺς περὶ τῶν θεωρικῶν σαφῶς οὑτωσί, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίους. ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διανέμουσι θεωρικά· οἱ δὲ τοὺς ἀτακτοῦντας ἀθῴους καθιστᾶσιν· εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους, ἀθυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύσητε, καὶ τὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ· τηνικαῦτα τὸν γράψοντα ἃ πάντες ἴστε ὅτι συμφέρει, ζητεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τίς εἰπὼν τὰ βέλτιστα ὑπὲρ ὑμῶν, ὑφ᾽ ὑμῶν ἀπολέσθαι βουλήσεται· οὐ γὰρ εὑρήσετε ἄλλως τε καὶ τούτου μόνου περιγίγνεσθαι μέλλοντος, τοῦ παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ᾽ εἰπόντα καὶ γράψαντα. μηδὲν δ᾽ ὠφελῆσαι τὰ πράγματα· ἀλλὰ καὶ εἰς τὸ λοιπὸν μᾶλλον ἔτι ἢ νῦν τὸ τὰ βέλτιστα λέγειν, φοβερώτερον ποιῆσαι. καὶ λύειν γε, ὦ ἄνδρες ἀθηναῖοι, τοὺς νόμους

A igitur menſis erat September. Multis autem verbis & tumultu facto apud vos, decreuiſtis quadraginta triremes producendas: &, qui infra annum ætatis eſſent quintum & quadrageſimum, iis ipſis conſcendendum, & talenta ſexaginta eſſe conferenda. Poſt, eo anno elapſo, Iunius, Quintilis, Sextilis: eo menſe vix poſt initia Cereris, Charidemum cum decem nauibus vacuis ablegaſtis, & quinque talentis argenti. Vt enim nunciatum fuit, Philippum ægrotare: & eſſe mortuum (nam vterque rumor afferebatur) nihil iam opus eſſe auxilio rati, omiſiſtis, Athenienſes, expeditionem. Erat autem ea ipſa occaſio. Nam ſi tunc illò auxilia miſiſſemus, vt ſtrenuè decreueramus, non moleſtus nobis nunc eſſet Philippus, tum conſeruatus. Quæ igitur tum facta ſunt, ea infecta fieri non poſſunt. Nunc autem alterius belli offertur occaſio. quæ? hæc propter quam & harum rerum mentionem feci, ne eadem vobis vſuueniant. Quo igitur ea pacto vtemur, Athenienſes? Niſi enim omni robore, quantum poteſtis, opem tuleritis: ſpectate, vt à vobis omnia ex Philippi commodo, quaſi eius duces eſſetis, adminiſtrata erant? Ii erant Olynthij, quorum aliquæ vires eſſent: & ita ſe res habebat, vt neque Philippus hos inuadere auB deret, neque hi Philippum, fecimus nos & illi pacem inter nos. Erat id tanquam impedimentũ quoddam Philippo, & incommodum, vrbem magnam velut in ſtatione eſſe, ad eum prima quaque occaſione infeſtandum, nobis reconciliatam: concitandos in eum homines omnibus modis exiſtimauimus: & quod omnes tum dictitabant, id nunc perfectum eſt quomodocunque. Quid ergo ſuperſit, Athenienſes, niſi vt opitulemini fortiter & ſtrenuè, equidem non video. Præter enim eam, quam ex ceſſatione & negligentia caperemus, ignominiam: non parum etiam ea quæ ſecutura ſunt, metuenda eſſe video, dũ quidem & Thebani ita erga nos animati ſunt, vt ſunt, & Phocenſes pecunia deficiuntur: & Philippum, vbi ea quæ nunc agit, expedierit, nihil futurum ſit, quod impediat, quò minus ad hæc ſe negocia conuertat. Verùm ſi quis veſtrûm euſque ceſſare in officio inſtituit: is propè videre vult calamitates, cùm liceret eas quæ alibi acciderent, procul audire: vult quærere ſibi auditores, cùm nunc ipſi liceret alios adiuuare. Nam eò tandem rem eſſe redituram, ſi hæc neglexerimus, ferè omnes ſatis ſcimus. At auxilium eſſe ferendum, dixerit aliquis, omnes C ſtatuimus, & feremus: quomodo autem, id dicito? Ne verò miremini, Athenienſes, ſi quid præter vulgi opinionem dixero. Legumlatores conſtituite: per eos autem legũlatores, nullã ſancite legẽ (ſunt enim vobis ſatis multæ) ſed eas quę vos in præsẽtia lædũt, abrogate, iſtas autem dico, & nõ diſſimulãter dico, quæ ſunt de theatrali pecunia, & de bellica re quaſdam: quarũ illæ militarẽ: iis qui domi manẽt, ad ſpectacula diſtribuũt: hæ, deſertores & emãſores indẽnes conſtituũt: ſic etiam iis qui officio fungi volũt, deſperationẽ iniiciũt. Poſtquam verò hæc ſuſtuleritis, & viam optima conſulẽdi tutã præbueritis: tum qui ea ſcribat, quę omnes è republica eſſe ſcitis, quęritote. Priuſquam autem hæc acta ſint, circũſpicite, quiſnam, dum vobis optimè conſulat, à vobis interire velit: neminem enim reperietis. præſertim. cùm id vnũ ex eo futurũ ſit, vt & qui ea dixerit ac ſcripſerit, per iniuriã mulctetur, nec rebus quicquam conſulatur: ſed optima ſuadẽdi ſtudiũ magis etiã in poſterũ quã nũc eſt, reddatur periculoſũ. Ac poſtulãdũ

Sententiæ dictio, quã confirmat ab occaſione, auditorũ iudicio, dedecore, periculo, & collatione incommodorum

II. pars de lege theatrali per Eubulum abrogãda: quòd non ſit è republica,

eſt, vt eas leges abrogent iſti ipſi, qui tulerunt. Non A enim æquum eſt, gratia, quæ totam ciuitatem læſit illos frui, qui tum tulerunt: odium autem, per quod cum omnibus nobis melius ageretur, ei qui nunc optima ſuaſerit. eſſe fraudi. Priuſquam autem hæc ritè comparata fuerint: nequaquam, Athenienſes, apud vos quenquam velitis eſſe tantum: vt hiſce legibus à ſe violatis, pœnas non det: aut adeò vecordem, vt in euidẽs malum ſemetipſe coniiciat. Quin nec illud vobis ignorandum eſt, Athenienſes, decreta nullius eſſe momenti, niſi & hoc acceſſerit, vt ea quæ decernantur. nos alacriter facere ſtudeamus. Nam ſi eam vim decreta haberent, vt aut vos ad officium faciendum compellere, aut ea quæ continẽt, perficere poſſent: neque vos multa decernendo, pauca vel nihil potius eorum ageretis: neque Philippus tam diu ſe inſolenter geſſiſſet. Neque enim per decreta quidem ſtetiſſet, quo minus olim pœnas de diſſet. Sed non ita ſe habent. Actiones enim vt orationibus & ſuffragiis ordine poſteriores ſunt, ita vi priores & potiores. Hoc igitur adiungendum eſt: reliqua præſtò ſunt. Nam qui prudenter dicere poſſint, ſunt apud vos, Athenienſes: & omnium acutiſſimè B vos orationes intelligitis, atque adeò exequi nunc poteritis, ſi rectè facietis. Quod enim tempus, quámve occaſionem, Athenienſes, meliorem hac quæritis? aut quando ea quæ fieri debent, agetis, ſi nunc non agetis? Nónne omnia vobis homo loca præripuit? Quòd ſi & hac terra potietur, rem flagitioſiſſimá admittemus. Nónne quibus ſi bellum gererẽt, ſtrenuè nos opitulaturos pollicebamur, hi nũc bello petuntur? Nónne hoſtis eſt? non veſtra tenet? nõ barbarus? quid non denique? Sed, Deum immortalem, ſi hæc omnia reliquerimus, & ei tantùm non ad ea obtinẽda operam nauauerimus: tum autores harum rerum qui ſint, quæremus? Neque enim nos in cauſa eſſe fatebimur: ſatis hoc ego ſcio. Nam & in belli periculis fugientium nemo ſeipſum accuſat, ſed tum ducem, tum commilitones, & quoſuis potius: vt vincerentur tamen, per omnes eos profectò factum eſt, qui fugerunt. Manere enim licuiſſet ei, qui alios accuſat. Quod ſi facerent ſinguli, viciſſent. Ita nunc, non ſuadet aliquis optima? ſurgat alius, & ſententiam dicat, non illum criminetur. Alius quiſpiam meliora dicit? ea facite, dijs approbãtibus. At C ea iucunda non ſunt? non hæc iam dicentis eſt iniuria: niſi, cũ vota eſſent facienda, non fecit. Nam paullo momento temporis, omnia, in vnum tanquam faſcem colligata, quæ velis, optare facile eſt: amplecti autem, cum de negociis conſultatio inſtituitur, non æquè promptum eſt: ſed vtiliſſima iucundiſſimis, ſi vtraque obtineri nequeunt, ſunt præferenda. At ſi quis theatralem pecuniam nobis relinquere poſſit, & alios ſumptus oſtendere militares, nónne is potior? dixerit aliquis. Aſſentior equidem, ſi modò oſtenderit, Athenienſes. Sed miror, ſi cui mortalium vnquam aut euénit, aut eueniet, cum ea quæ habet, in res ſuperuacaneas inſumpſerit, vt iis, quæ non habet, ad res neceſſarias abundet. Sed magnum iſtis rationibus, ex vniuſcuiuſque voluntate nimirum præſidium eſt. Quare omnium eſt facillimum, ſeipſum decipere. Quod enim quiſque vult, id etiam ſibi fingit. Sæpe autem natura rerum alia eſt. Iſta igitur ita conſiderate, vt res patiuntur: tũ & militare poteritis, & ſtipendiũ habebitis. Non ſanè prudẽtiũ, neq; generoſorũ hominũ eſt, aliquid in bello

Adhortatio, & decernenda eſſe vtilia, & ſingulis exequẽda.

Occupatio neceſſitati potius, quàm voluptati parendũ: cũ excuſatione liberioris orationis.

δεῖ τούτους αὐτοὺς ἀξιοῦν, οἵπερ καὶ τεθείκασιν. οὐ γὰρ ἐστι δίκαιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαψε τὴν πόλιν, τοῖς τότε θεῖσιν ὑπάρχειν· τὴν δ' ἀπέχθειαν, δι' ἧς ἅπαντες ἂν ἄμεινον πράξαιμεν, τῷ νῦν τὰ βέλτιστα εἰπόντι ζημίαν γενέσθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς, ὦ ἄνδρες Ἀθηναῖοι, μηδένα ἀξιοῦτε τηλικοῦτον εἶναι παρ' ὑμῖν, ὥστε τοὺς νόμους τούτους παραβάντα, μὴ δοῦναι δίκην· μηδ' οὕτως ἀνόητον, ὥστε εἰς προὖπτον κακὸν αὑτὸν ἐμβαλεῖν. οὐ μὴν οὐδ' ἐκεῖνό γ', ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενός ἐστιν ἄξιον, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν, τά γε δόξαντα προθύμως ὑμᾶς. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν, ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν, ἢ περὶ ὧν γράφει διαπράξαι· οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι, μικρά, μᾶλλον δ' οὐδὲν ἐπράττετε τούτων. οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον. πάλαι γὰρ ἄν, ἕνεκά γε ψηφισμάτων, ἐδεδώκει δίκην. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει. τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστι. τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει. καὶ γὰρ εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι, δυνάμενοι· καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆτε. τίνα γὰρ χρόνον, ἢ τίνα καιρόν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πράξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν τὰ χωρία προείληφεν ἄνθρωπος; εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας γενήσεται, πάντων αἴσχιστα πεισόμεθα. οὐχ οὓς εἰ πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι νῦν πολεμοῦσιν; οὐκ ἐχθρός; οὐκ ἔχων τὰ ὑμέτερα; οὐ βάρβαρος; οὐχ ὅ, τι ἂν εἴποι τις; ἀλλὰ πρὸς θεῶν, ἅπαντα ταῦτα ἐάσαντες, καὶ μονονουχὶ συγκατασκευάσαντες αὐτῷ, τότε τοὺς αἰτίους οἵ τινές εἰσι τούτων ζητήσομεν; οὐ γὰρ αὐτοί γ' αἴτιοι φήσομεν εἶναι· σαφῶς οἶδα τοῦτ' ἐγώ. οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις τῶν φυγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ, ἀλλὰ καὶ τοῦ στρατηγοῦ, καὶ τῶν πλησίον, καὶ πάντων μᾶλλον. ἥττηνται δ' ὅμως διὰ πάντας τοὺς φυγόντας δήπου. μένειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων. εἰ δὲ τοῦτ' ἐποίει ἕκαστος, ἐνίκων ἄν. καὶ νῦν οὐ λέγει τις τὰ βέλτιστα; ἀναστὰς ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω. ἕτερος λέγει τις βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ. ἀλλ' οὐχ ἡδέα ταῦτα; οὐκέτι τοῦθ' ὁ λέγων ἀδικεῖ· πλὴν εἰ δέον εὔξασθαι, παραλείπει. εὔξασθαι μὲν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴδιον, εἰς ταυτὸ πάνθ' ὅσα βούλεταί τις ἀθροίσαντα ἐν ὀλίγῳ· ἑλέσθαι δέ, ὅταν περὶ πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέτ' ὁμοίως εὔπορον· ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ ἀμφότερα ἐξῇ, λαμβάνειν. εἰ δέ τις ἡμῖν ἔχοι τὰ θεωρικὰ ἐᾶν, καὶ πόρους ἑτέρους λέγειν στρατιωτικούς, οὐχ οὗτος κρείττων; εἴποι τις ἄν. φημὶ ἔγωγε, εἴπερ ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι. ἀλλὰ θαυμάζω εἴ τῳ ποτὲ ἀνθρώπων, ἢ γέγονεν, ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ. ἀλλ' οἶμαι μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ' ἑκάστου βούλησις. διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὑτὸν ἐξαπατῆσαι. ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται. τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. ὁρᾶτε οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ' οὕτως, ὅπως καὶ τὰ πράγματα ἐνδέχεται, καὶ δυνήσεσθε ἐξιέναι, καὶ μισθὸν ἕξετε. οὔ τοι σωφρόνων, οὐδὲ γενναίων ἐστὶν ἀνθρώπων ἐλλείποντάς τι, δι'

ἔνδειαν

A ἔνδειαν χρημάτων, τοῦ πολέμου, εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν, οὐδ' ἐπὶ μὲν κορινθίοις, καὶ μεγαρέας, ἁρπάσαντας τὰ ὅπλα πορεύεσθαι· φίλιππον δ' ἐᾶν πόλεις ἑλληνίδας ἀνδραποδίζεσθαι, δι' ἀπορίαν ἐφοδίων τοῖς στρατευομένοις. καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν τὴν ἄλλως προῄρημαι λέγειν (οὐ γὰρ οὕτως ἄφρων, οὐδ' ἀτυχής εἰμι ἐγὼ, ὥστε ἀπεχθάνεσθαι βούλεσθαι, μηδὲν ὠφελεῖν νομίζων) ἀλλὰ δικαίου πολίτου κρίνω τὴν τῶν πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάριτος αἱρεῖσθαι· καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λέγοντας ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν οἱ παριόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ τῷ τρόπῳ καὶ τῷ ἔθει τῆς πολιτείας χρῆσθαι· τὸν ἀριστείδην ἐκεῖνον, τὸν νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸν περικλέα. ἐξ οὗ δ' οἱ διερωτῶντες ὑμᾶς οὗτοι πεφήνασι ῥήτορες, τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρίσωμαι; προπέποται τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος τὰ τῆς πόλεως πράγματα, καὶ τοιαυτὶ συμβαίνει. καὶ τὰ μὲν τούτων πάντα καλῶς ἔχει. τὰ δ' ὑμέτερα αἰσχρῶς. B Καί τοι σκέψασθε, ὦ ἄνδρες ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔχοι, τῶν ἐπὶ τῶν προγόνων ἔργων, καὶ τῶν ἐφ' ὑμῶν. ἔσται δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος. οὐ γὰρ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις, ὦ ἄνδρες ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι. ἐκεῖνοι τοίνυν οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες, οὐδ' ἐφίλουν αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ ἑξήκοντα ἔτη τῶν ἑλλήνων ἦρξαν ἑκόντων· πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν συνήγαγον· ὑπήκουε δ' ὁ ταύτην ἔχων τὴν χώραν αὐτοῖς βασιλεύς, ὥσπερ ἐστὶ προσῆκον βάρβαρον ἕλλησι· πολλὰ δὲ καὶ καλά, καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαια αὐτοὶ στρατευόμενοι· μόνοι δ' ἀνθρώπων, κρείττω τὴν ἐπὶ τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν δὴ τῶν ἑλληνικῶν ἦσαν τοιοῦτοι. ἐν δὲ τοῖς κατὰ τὴν πόλιν αὐτὴν, θεάσασθε ὁποῖοι ἔν τε τοῖς κοινοῖς, καὶ τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν, καὶ τῶν ἐν τούτοις ἀναθημάτων, C ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι. ἰδίᾳ δ' οὕτω σώφρονες ἦσαν, καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μένοντες, ὥστε τὴν ἀριστείδου, καὶ τὴν μιλτιάδου, καὶ τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία ποτ' ἐστὶν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. οὐ γὰρ εἰς περιουσίαν ἐπράττετο αὐτοῖς τὰ τῆς πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ δὲ τοῦ τὰ μὲν ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν, μεγάλην εἰκότως ἐκτήσαντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον τὸν τρόπον εἶχε τὰ πράγματα ἐκείνοις χρωμένοις, οἷς εἶπον, προστάταις. νυνὶ δὲ πῶς ὑμῖν ὑπὸ τῶν χρηστῶν τῶν νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως, καὶ παραπλησίως; καὶ τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν. ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ λακεδαιμονίων μὲν ἀπολωλότων, θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι· ἐξὸν δ' ἡμῖν καὶ τὰ ἡμέτερα αὐτῶν ἀσφαλῶς ἔχειν, καὶ τὰ τῶν ἄλλων δίκαια βραβεύειν· ἀπεστερήμεθα μὲν χώρας οἰκείας, πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν εἰς οὐδὲν δέον· οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι· ἐχθρὸν δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. ἢ φρασάτω τις ἐμοὶ παρελθὼν, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν, ἢ παρ' ἡμῶν αὐτῶν, φίλ-

negligere ob nummorum penuriam,& leuiter talia probra ferre:aut cōtra Corinthios & Megarēſes,arreptis armis proficiſci:Philippum autem Græcas vrbes pati excindere,propter inopiam cōmeatus, quo exercitus ſuſtentetur. Atque hæc nō fruſtra dicere inſtitui,vt quorundam è vobis odia ſuſciperē (neque enim ita demens aut infelix ego ſum, vt cum nulla ſpe publicī fructus,priuatum mihi odium quæram) ſed boni ciuis officium eſſe puto,vt charitatē reipublicæ ſuauitati orationis anteponat. Nam apud maiores noſtros,oratores audio, quemadmodū & vos fortaſſe(quos vt omnes qui cōciones habent,laudare,ita parum imitari ſolēt) hac ratione & hoc inſtituto in republica gerenda vti ſolitos: Ariſtidem illū, Niciam,eum qui idem mecum nomen habuit, Periclem. Ex quo autem ſciſcitantes è vobis iſti oratores extiterunt,Quid cupitis?quid ſcribam?qua vobis re gratificabor?breui voluptate & gratia,reipublicę negocia,quaſi propinata pereunt,& talia eueniunt: iſtorum res omnes præclarè ſe habent,veſtræ turpiter. Atqui conſiderate,Athenienſes,quæ capita rerū, & ſuperiorum & horum temporum,commemorari poſſent:breuis autem erit,& nota vobis oratio. Non enim alienis vos vtentes exemplis, ſed domeſticis, Athenienſes,felices fieri licet. Illi igitur quibus non adulabantur oratores,quos non ita amabant, vt vos iſti nunc,quinque & ſexaginta annos Græcis volentibus imperarunt:amplius decies mille talēta in Arcem congeſſerunt:& regem iſtius prouinciæ, dicto audientem habuerunt,ſicut æquū eſt parēre Græcis Barbarum:& multa præclaráque trophæa terra maríque parta erexerunt, cum ipſi militarent: & ſoli mortalium eam rerum geſtarum gloriam,ad quam nullus inuidiæ pateret aditus,reliquerūt. Ac in tuenda Græcia fuere tales. In ipſa verò vrbe ſpectate quales & publicis & priuatis in rebus ſe præbuerint. Publicè igitur ædificia & ornamenta talia & tanta inſtruxere nobis fanorum,& quæ his continentur donariorum,vt nihil addi poſſit à poſteris ad illorum excellentiam. Priuatim autē adeò modeſti fuerūt, & tanta cura inſtitutum reipublicæ obſeruarunt, vt vt ſi quis fortè veſtrūm Ariſtidis & Miltiadis, & illius ætatis illuſtriū hominum ædes nouit cuiuſmodi ſint, vicini ædibus nihilo eſſe ſplēdidiores videat. Neque enim rei familiaris amplificādę gratia Rempubl.gerebant,ſed quiſque ſibi rem cōmunem augendam eſſe putabat. Cum autem res Græcorum fideliter,religionem Deorum immortalium piè, cōmercia inter ipſos æquabiliter adminiſtrarent, non iniuriā magnam ſibi felicitatem pepererunt. Tunc igitur ad hunc modum,dum illi quos dixi, ſummæ reipublicæ præerant,ſe res habuerūt. Nunc,dum leues iſti præſūt,quis rerum veſtrarū ſtatus eſt? Idémne & ſimilis? Ac cætera quidem taceo, cum haberē multa dicere. Sed quanquam in tantā incidimus ſolitudinē,quātam videtis omnes,cum & Lacedæmonij perierint,& Thebani occupati ſint, & cæterorū nemo tantas vires habeat,vt nobiſcum de principatu contendere auſit:cúmque nobis liceret & priuata noſtra ſine periculo tenere,& reliquorū controuerſias diſceptare:tamē priuati ſumus noſtra prouincia & amplius mille & quingenta talenta nullo cū fructu inſumpſim⁹:& quos in bello ſocios parauimus, hi pacis tēpore perierūt,& hoſtē cōtra noſmetipſos tātū inſtruxim⁹. Alioqui ꝓgrediatur aliquis & mihi dicat, vnde, niſi per noſmetipſos, ita ſint auctæ o-

III. pars collationē Iſocraticā veterum & illius temporis magiſtratuum continens, partium enumeratione conſtās.

Tranſitio à veteri adminiſtratione ad tribunorū reprehenſionē,& tacita adhortatio vt ipſi militent.

pes Philippi? Sed heus tu, ſi vitioſa hæc ſunt, at vrbanarum rerum ſtatus eſt melior? Ecquid autem dici queat? Nam propugnacula, quæ tectorio inducimus? & viæ, quas reficimus? & fontes? & nugæ? Eos quæſo intuemini, quorum hæc acta ſunt in republica: quorum alij è mendicis facti ſunt diuites, alij ex obſcuris clari, nonnulli priuatas ædes publicis ſubſtructionibus ſplendidiores compararunt: & quantò reſpublica plus detrimenti cepit, tantò res iſtorum factæ ſunt ampliores. Quæ igitur cauſa eſt horum omnium? & cur tandem ſe omnia tum præclarè habuerunt, & nunc haud rectè? Primùm, quòd & populus, cùm ipſe militare auderet, dominus erat magiſtratuum, & bona omnia in ſua poteſtate habebat: & bene ſecum agi putabant cæteri omnes, ſi à populo & magiſtratũ, & honore, & beneficiũ aliquod cõſequuti eſſet. Nũc cõtrà, bona omnia in poteſtate ſunt magiſtratuum, & per hos geruntur omnia: vos populus eneruati, & ſpoliati pecunia, ſociis, famuli & additamenti vicem obtinetis: contenti theatrali pecunia, quam iſti vobis impertiunt: aut bucculis, ſi quas fortè miſerint. Et quod eſt omniũ ignauiſſimũ, cum ea vobis dantur, veſtra quæ ſunt: gratiam etiam habetis quaſi beneficia in vos conferantur. Qui verò vos in hanc vrbem tanquam carcerem incluſere, ad talia vos alliciunt, & cicurant, vt vos ad nutũ paratos habebant. Neque verò, mea quidem ſententia, fieri vnquam poteſt, vt magnos & generoſos animos ſumant ij, qui paruis & vilibus rebus occupantur. Nam qualiacunque hominũ ſtudia fuerint, talibus eos & animis eſſe præditos neceſſe eſt. Hæc mediusfidius haud mirabor, ſi mihi, qui dixerim, plus apud vos nocuerint, quàm iis qui ea fecerunt. neque enim ſemper apud vos omnibus de rebus liberè loqui licet, idque ego vel nũc licuiſſe miror. Quòd ſi nunc ſaltem moribus iſtis relictis, militare voletis, & agere pro veſtrapte dignitate, atque iſtis domeſticis opibus velut inſtrumentis vtemini ad externa bona comparanda: fortaſſis, Athenienſes, fortaſſis perfectum aliquod & magnum bonum conſequemini, talibus lucellis repudiatis, quæ cum cibis, quos dant ægrotis medici, conferri poſſunt. Etenim vt illi neque vires augent, neque emori patiuntur: ſic & iſta quę vos nunc percipitis, neque tanta ſunt vt iuſtam vtilitatem aliquam afferant: neque vos iis deſpectis, ad alia conuerti patiuntur, ſed alimenta ſunt veſtrûm omnium ſocordiæ. Ergo tu ſtipendium facere iubes? inquiet aliquis. Sanè: & è veſtigio eundem eſſe ordinem omnium, Athenienſes, vt partem quiſque reipublicæ capeſſat, quæque res ciuitati opus fuerit, in ea ſuam operam ſtrenuè nauet. Licet agere ocium? Cum domi manes, melior eſt tua conditio, quòd ad nullum turpe facinus inopia te cõpellit. Incidit huiuſmodi quippiam, quale nunc? De iſtis ipſis emolumentis pro patria, vt æquum eſt, militabis. Eſt veſtrûm aliquis natu grandior? Is quæ nunc ſine ordine capit, ad nihil vtilis, ea in æquabili ordine accipiat, omnia inſpiciens & adminiſtrans quæ ſunt agenda. Ad ſummam, neque detraxi quicquam, neque addidi, præter pauca: confuſione ſublata, rempublicam in ordinem redegi: eodem accipiendi, militandi, iudicandi, & id agendi, quod pro ætate quiſque poteſt, quódque tempus poſtulat ordine inſtituto. Nuſquam ego dixi, nihil agentibus ea eſſe diſtribuenda, quę functuris officio debentur: neque ipſos deſidere iuſſi, & ociũ agere & egere: illius autẽ peregrinos vincere milites, id audire. Hæc.n.

Occupatio & peroratio, qua & theatralis pecunia per ſimilitudinẽ extenuatur. & occupationis ſpecie cõfuſio tollitur, & huius conſilij ratiocõ mendatur.

A λιππος; ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει; καὶ τί ἄν τις εἰπεῖν ἔχοι; τὰς ἐπάλξεις, ἃς κονιῶμεν; καὶ τὰς ὁδούς, ἃς ἐπισκευάζομεν; καὶ κρήνας, καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς τοὺς ταῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι. ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται. τί δὴ τὸ πάντων αἴτιον τούτων; καὶ τί δή ποτε ἅπαντ' εἶχε καλῶς τότε, καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρότερον, καὶ στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος, δεσπότης τῶν πολιτευομένων ἦν, καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν. καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ, καὶ τιμῆς καὶ ἀρχῆς, καὶ ἀγαθοῦ τινος μεταλαβεῖν. νῦν δὲ τοὐναντίον, κύριοι μὲν τῶν ἀγαθῶν οἱ πολιτευόμενοι, καὶ διὰ τούτων ἅπαντα πράττεται. ὑμεῖς δὲ ὁ δῆμος ἐκνενευρισμένοι, καὶ περιῃρημένοι χρήματα, συμμάχους, ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν, ἢ βοΐδια πέμψωσιν οὗτοι. καὶ τὸ πάντων ἀνανδρότατον,
B τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς, ὑπάγουσιν ἐπὶ ταῦτα, καὶ τιθασεύουσι, χειροήθεις αὐτοῖς ποιοῦντες. ἔστι δ' οὐδέποτ' οἶμαι μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν, μικρὰ καὶ φαῦλα πράττοντας. ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ φρόνημα ἔχειν. ταῦτα, μὰ τὴν Δήμητρα, οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη, τῶν πεποιηκότων αὐτὰ γενέσθαι. οὐδὲ γὰρ παρρησία περὶ πάντων ἀεὶ παρ' ὑμῖν ἐστιν. ἀλλ' ἔγωγε, ὅτι καὶ νῦν γέγονε, θαυμάζω. ἐὰν οὖν ἀλλὰ νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων τῶν ἐθῶν, ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν ἀξίως ὑμῶν αὐτῶν καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύταις, ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως ἂν ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθόν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε, ἃ τοῖς ἀσθενοῦσι παρὰ τῶν ἰατρῶν σιτίοις διδομένοις ἔοικε. καὶ γὰρ οὔτ' ἰσχὺν ἐκεῖνα ἐντίθησιν, οὔτ' ἀποθνήσκειν ἐᾷ. καὶ ταῦτα ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε τοσαῦτά ἐστιν, ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ' ἀπο-
C γνόντας ἄλλο τι πράττειν ἐᾷ. ἀλλ' ἔστι ταῦτα τὴν ἑκάστου ῥαθυμίαν ὑμῶν ἐπαυξάνοντα. Οὐκοῦν σὺ μισθοφορὰν λέγεις; φήσει τις. καὶ παραχρῆμά γε τὴν αὐτὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῶν κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πόλις, εἰς τοῦθ' ἑτοίμως χρήσιμον ἑαυτὸν παρέχοι. ἔξεστιν ἄγειν ἡσυχίαν; οἴκοι μένων εἶ βελτίων, τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσχρὸν ἀπηλλαγμένος. συμβαίνει τι τοιοῦτον, οἷον καὶ τὰ νῦν; στρατιώτης αὐτὸς ὑπάρχων, ἀπὸ τῶν αὐτῶν τούτων λημμάτων, ὥσπερ ἐστὶ δίκαιον, ὑπὲρ τῆς πατρίδος. ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν; ὅσα οὗτος ἀτάκτως νῦν λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμβανέτω, πάντ' ἐφορῶν καὶ διοικῶν, ἃ χρὴ πράττεσθαι. ὅλως δὲ οὔτ' ἀφελὼν, οὔτε προσθεὶς, πλὴν μικρῶν, τὴν ἀταξίαν ἀνελὼν, εἰς τάξιν ἤγαγον τὴν πόλιν, τὴν αὐτὴν τοῦ λαβεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ' ὅ,τι καθ' ἡλικίαν ἕκαστος ἔχει, καὶ ὅτου καιρὸς εἴη, τάξιν ποιήσας. οὐκ ἔστιν ὅπου τοῖς μηδὲν ἐγὼ ποιοῦσι τὰ τῶν ποιησόντων εἶπον. ὡς δεῖ νέμειν· οὐδ' αὐτοὺς μὲν ἀργεῖν, καὶ σχολάζειν, καὶ ἀπορεῖν. ὅτι δὲ οἱ τοῦ δεῖνος νικῶσι ξένοι ταῦτα πυνθάνεσθαι. ταῦτα γὰρ νυνὶ γίνεται. καὶ οὐχὶ

μέμφο-

μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν· ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὑπὲρ ὑμῶν αὐτῶν, ἀξιῶ πράττειν ταῦτα, ἐφ' οἷς ἑτέρους τιμᾶτε καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς, μετὰ πολλῶν κινδύνων κτησάμενοι, κατέλιπον. Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν. ὑμεῖς δὲ ἕλοισθε, ὅ,τι καὶ τῇ πόλει καὶ ἅπασιν ὑμῖν συνοίσειν μέλλει.

A nunc ſunt. Neque reprehendo eos qui reipublicæ inſeruiūt: Sed & vos ipſi ea debetis agere, propter quę alios honoratis: neq. cedere ſtatione virtutis, Athenienſes, quā vobis maiores magnis periculis partā reliquerunt. Ferè dixi, quę conducere putem. Vos autem ea amplectimini, quæ & reipublicę & vobis vniuerſis profutura ſunt.

## ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ, ΤΟΥ ΚΑΤΑ Φιλίππου πρώτου λόγου.

Καλῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι, συνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέγων οὐδὲν εἶναι θαυμαστὸν, εἰ ῥαθυμοῦντες κεκράτηνται. καὶ εἰσηγεῖται, πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύει δὲ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω πολιτικήν. ἥτις οἴκοι μένουσα, πρὸς τὰς τῶν ἐπικαίρων χρείας ἑτοίμως ὑπάρξει. ἑτέραν δὲ ἐλάττονα, ξένων ὄντων τῶν στρατευομένων, παραμεμιγμένων δέ· καὶ κελεύει τὴν δύναμιν μὴ Ἀθήνησι μένειν, μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι, πολεμοῦσαν ἀδιαλείπτως· ἵνα μὴ τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος, ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατὸν, ἐπιχειρῇ τοῖς πράγμασι, καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων ἁπάντων κρατῇ, ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις, πρὸς αὐτὸν ὑπάρχῃ.

## LIBANII ARGVMENTVM PRIMAE in Philippum orationis.

Athenienſes, quū bellum infeliciter cōtra Philippū gererēt, in concionē cōuenerunt deſperabūdi. Orator igi- B tur & erigere abiectos animos conatur (neq. n. eſſe mirū ſi in tanta ſocordia victi ſint) & qua ratione bellū rectiſſimè adminiſtrēt, docet. Iubet aūt geminas copias cōparari: alteras maiores vrbanas, quæ domi maneāt, in omnē euentū paratæ: alteras minores, quæ militib. peregrinis conſtēt, permiſtæ ciuibus, & cū exercitū non Athenis manere, neq. ex vrbe opē ferre iubet: ſed circa Macedoniā verſari, belligerantē continēter: ne flatu Etheſiarū Philippus obſeruato, aut etiā hyeme, cū Athenis in Macedoniā nauigari nō poſſit, rē aggrediatur, & per abſentiā Athenienſiū omnia obtineat: ſed exercitum qui cum eo dimicet, vicinum potius ei eſſe oportere cenſet. C

## ΔΗΜΟΣΤΕΝΟΥΣ ΚΑΤΑ ΦΙΛΙΠ-ΠΟΥ λόγος πρῶτος.

Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προυτίθετο, ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον. εἰ δὲ μή, τότ' ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν. ἐπειδὴ δὲ D περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον, συμβαίνει καὶ νυνὶ σκοπεῖν· ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς, εἰκότως ἂν συγγνώμης τυγχάνειν. εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα, * αὐτοὶ συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι. πρῶτον μὲν οὖν, οὐκ ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστι τοῦτο; ὅτι οὐδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν, κακῶς τὰ πράγματα ἔχει. ἐπεί τοι γε εἰ πάνθ' ἃ προσῆκε πραττόντων, οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι. ἔπειτα ἐνθυμητέον, καὶ παρ' ἄλλων ἀκούουσι, E καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων, ἐξ οὗ χρόνος οὐ πολύς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. τίνος οὖν ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεάσησθε, ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστι φοβερὸν, οὔτ' ἂν ὀλιγωρῆτε τοιοῦτον, οἷον ἂν ὑμεῖς βούλησθε, παραδείγμασι χρώμενοι, τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττόμεθα, ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐ- F χρῆν. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό, τε πλῆθος τῆς νῦν ὑπαρχούσης αὐτῷ δυνάμεως, καὶ τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ πόλει· ὀρθῶς μὲν οἴεται, λογισάσθω μέντοι τοῦτο, ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν, καὶ Ποτίδαιαν, καὶ Μεθώνην, καὶ πάντα τὸν τόπον τοῦτον, οἰκεῖον κύκλῳ· καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν, αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε, καὶ μᾶλλον ὑμῖν ἐβούλετ' ἔχειν οἰκείως, ἢ 'κείνῳ. εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις, ἔχουσι τοιαῦτα ἐπιτειχίσματα τῆς αὐτοῦ χώρας, G ἔρημον ὄντα συμμάχων. οὐδὲν ἂν, ὧν νυνὶ πεποίηκεν ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατο δύναμιν· ἀλλ' οἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία, ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ. φύσει δ' ὑπάρχει τοῖς παροῦσι, τὰ τῶν ἀπόντων, καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ κινδυνεύειν, τὰ τῶν ἀμελούντων. καὶ γάρ τοι, ταύτῃ χρησάμενος τῇ γνώμῃ, πάντα κατέστραπται καὶ ἔχει. τὰ μὲν, ὡς ἂν ἑλών τις ἔχοι, πολέμῳ· τὰ δὲ, σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρεσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή. ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐπειδήπερ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ' ἂν παρασχεῖν αὑτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν, ἕτοιμος πράττειν ὑπάρξῃ. ὁ μὲν χρήματα ἔχων εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ στρατεύεσθαι. συνελόντι δ' ἁπλῶς εἰπεῖν, ἂν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι, καὶ παύσησθε, αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὑτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν θεὸς θέλῃ, καὶ τὰ κατερρᾳθυμημένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε.

## DEMOSTHENIS PHILIPPICA prima, oratio IIII. Hieronymo Vuolfio interprete.

Si de nouo aliquo negotio cōcio indicta eſſet Atheniēſes: expectaſſem, dū plurimi eorū q ſolēt, ſentētias dixiſſent: ac ſi quid ab eis dictū mihi placuiſſet: quieuiſſem. Sin minus: tū & ipſe meū conſiliū explicare ſtuduiſſem. Poſteaquā autē ſic accidit, vt quibus de rebus iſti ſępe prius dixerūt, de his nūc etiā ſit deliberandū; arbitror me, tametſi primus ſurrexerim, iure tamē veniā impetraturū. Nam ſi ſuperiore tēpore opportune ipſi cōſuluiſſēt: nihil vos nūc neceſſe D eſſet deliberare. Primum igitur, non deſperandū eſt, Atheniēſes, de hoc ſtatu rerū, etſi is omnino malus eſſe videatur. Nam quod in eo ſuperiorib. tēporib. fuit peſſimū: id ipſum eſt ad ea quę reſtāt optimū. Quid illud igitur eſt? Quòd propter ſocordiā veſtrā, & neglectū officij, res aduerſæ ſunt. Nā ſi vobis omnia quæ decet agētibus, res ita ſe haberēt: ne ſpes quidē vlla relinqueretur, eas fore meliores. Deinde cogitandū id, quod partim ex aliis auditis, partim ipſi noſtis: atq. in memoriā reuocandū, quāta aliquādo potētia Lacedæmoniis præditis, idq. nō ita olim, quā pręclare & cōuenienter, nihil alienū dignitate vrbis admiſeritis: ſed pro defenſione iuris, bellū illorū ſuſtinueritis. Qua igitur gratia hæc dico? vt ſcia- E tis Atheniēſes, & videatis, nec quicquā præcautib. vobis eſſe formidabile: neque, ſi neglexeritis ex animi veſtri ſententia quicquā ſucceſſurū: vtq. exēplis vtamini, potētiæ quæ tū fuit Lacedęmoniorū quā vigilātia veſtra ſuperaſtis: & nunc inſolētiæ Philippi, propter quā æſtuamus, eo quòd nihil eorū quæ curāda erāt curauimus. Si quis autē veſtrûm, Atheniēſes, & multitudinē copiarū, quas Philippus habet, cōſiderās, & omnia loca amiſſa a noſtra republica intuens, difficilē oppugnatu eū eſſe opinatur: is etſi rectè ſentit, illud tamen reputet, habuiſſe nos aliquādo Atheniēſes, Pydnā & Potidæā, & Methonē & vndiq. omnē illū tractū cōiunctū: & multas quę nūc F cū eo ſunt, gētes, ſui fuiſſe iuris & liberas, & veſtrā amicitiā illius cōiunctioni prætuliſſe. Philippus igitur, ſi tū eū habuiſſet animū, eſſe difficile belligerare cū Atheniēſibus, q tales arces ad ditionē ipſius oppugnandā haberēt, qui ſociis deſtitueretur, nihil eorū quæ nūc fecit, egiſſet, neq. tantā potentiā cōparaſſet. Sed illud Athenienſes, is præclarè norat loca illa omnia belli eſſe præmia, in medio poſita: & naturā ita ferre, vt opib. abſentiū præſentes, & qui laborare periclitariq. volunt, negligentiū potiantur. Proinde cùm ita ſentiret, omnia ſubegit & tenet: alia, vt bello capta teneri ſolēt: alia, inita ſocietate & amicitia. Nam adiungere ſe & adhærere illis vo- G lunt omnes, quos inſtructos eſſe vident. & ea quæ opus ſunt agere velle. Quare ſi & vos, Athenienſes, eodem velitis eſſe animo nunc, quando prius id factum non eſt, & quiſque veſtrûm id quod & opus ſit, & præſtare ipſe poſſit, in vſum reipublicæ, omni omiſſa tergiuerſatione facere ſit paratus: locupletes tributo conferendo, iuuenes militando: & vt ſimpliciter breuitérque dicam, ſi veſtri compotes ipſi fieri volueritis, & deſieritis ipſi nihil agere, dum ſperatis alium pro vobis facturum eſſe omnia: ſic & veſtras opes recuperabitis, annuente Deo, amiſſáque per ſocordiam, denuò recipietis, & illum vlciſcemini. Neque enim putetis, tanquam Deo:

Occupatione beneuolētiam captat, & attētionem.

1. Propoſitio, non eſſe deſperādū, ſed emendandā ignauiam: quæ confirmatur exēplo ipſorum Athenienſium, & Philippi per occupationem, conceſſionem & inficiationē:

Concluſio, per diſtributionem officiorū: & ab infirma potentia Philippi, & belli neceſſitate cum exagitatione futilitatis Athenienſiū.